## Διάλογος πλουσίων καὶ πενήτων· τίνας ἂν εἶπον λόγους πένητες πρὸς πλουσίους καὶ τίνας αὖ πρὸς τοὺς πένητας οὗτοι.

< ΠΕΝΗΤΕΣ. > Μέχρι τίνος ἀνεξόμεθα τῆς πλεονεξίας ὑμῶν ἄνδρες ἀδελφοὶ καὶ οὐκ ἀδελφοὶ τὴν προαίρεσιν; μέχρι τίνος ὁ κοινὸς πάντων πατὴρ μακροθυμήσει, τὰ κοινὰ ἐξιδιωσαμένους ὑμᾶς καθορῶν; μέχρι τίνος οὐκ ὀργισθήσεται καὶ κλονήσει τὴν γῆν, ὁρῶν μὲν ἡμᾶς ὑπ' ἐνδείας ἀθλίως ψυχορραγοῦντας, ὑμᾶς δὲ καὶ τὰ ὑπὲρ τὴν χρείαν κεκτημένους καὶ εἰς γῆν αὐτὰ κατορύττοντας; ἃ μὴ δεχομένη πάντως ὡς κοινὴ πάντων μήτηρ, ταράσσεται εἰκότως, καταπιεῖν ὀργῶσα τοὺς ταῦτα πράττοντας. οὐ γὰρ βούλεται, καίπερ ἄψυχος οὖσα, τὰ ἐκ τῆς γαστρὸς προελθόντα ἅπαξ αὐτῆς αὖθις δεξαμένη κατέχειν, ἀλλ' εἰς ἄλλας γαστέρας, τὰς ἡμετέρας, προπέμπεσθαι.

Μνήσθητε οὖν οἷα πεπόνθασιν οἱ πάλαι ποτὲ τὰ αὐτῆς ἐκφόρια fol. 81v τοὺς καθ' ἡμᾶς || ἀποστερήσαντες πένητας· ἢ οὐχ' ὁρᾶτε τὴν συμπάθειαν τῶν σωμάτων, πῶς ἐκ μέρους πάσχει τὸ πᾶν; ἢ τῷ ξίφει τῆς ἀσπλαγχνίας ἐξ ἡμῶν ἀποτμηθέντες, ὡς ἔοικε, τῆς ἡμετέρας ὀδύνης οὐδαμῶς ἐπαισθάνεσθε, ἀλλ' ἀνάλγητοι μένετε; καὶ γὰρ καὶ τὰ πρῶτα πλεονεκτεῖ σώματα καὶ πολέμια γίνεται, ὅταν τὰ μέρη τοῦτο πάσχοντα βλέπῃ. πεισάτωσαν ὑμᾶς οἱ κατὰ τοὺς χρόνους Νῶε, τῇ τῶν παθῶν ἀμετρίᾳ διαφθαρέντες ἐξ ὕδατος· οἱ κατὰ τοὺς Σοδομίτας, οὓς τὸ πῦρ ἄνωθεν κατελθὸν διὰ φιληδονίαν κατέφλεξεν· οἱ κατὰ τοὺς Αἰγυπτίους, οὓς ὁ ἀὴρ καὶ ἡ θάλασσα διὰ φιλαρχίαν ἐκάλυψεν· οἱ κατὰ τὸν Δαθὰν καὶ

---

TESTIMONIA: Titulus: τίνας — λόγους] *cf. Par. Gr. 2465,* fol. 16r: κατασκευὴ... χαρακτῆρι διαλογικῷ... τίνας ἂν εἴποι λόγους ψυχὴ κατὰ σώματος.
18 πῦρ *cf.* Ge. 19:24. 20 ἐκάλυψεν *cf.* Ex. 14:28.

VARIAE LECTIONES: S = *Sabbaiticus 417, saec. XIV, fol. 81r-94r.*
Titulus: Διάλογος] τοῦ αὐτοῦ διάλογος S πλουσίους καὶ] ἐγράφη ὅτε συνεχεῖς σεισμοὶ καθημέραν ἐγένοντο καὶ τῆς θαλάσσης πολλαχοῦ ἐκβρασμοὶ in margine add. $S^2$
1 lemma supplevi 4 οὐκ] malim οὖν

Digitized by Google

Ἀβιρών, οὓς ἡ γῆ διὰ φιλοδοξίαν διαστᾶσα κ α τ έ π ι ε. βδελύσσεται γάρ, ὡς ἂν εἴπῃ τις, τὰ καθόλου τὰ μέρη τὰ ἐν τοῖς τοιούτοις πάθεσιν ἁλισκόμενα, καὶ ἐν θυμῷ ἀνιστάμενα φθείρουσιν αὐτὰ ἀφειδῶς ὁρισμῷ τοῦ ποιήσαντος, ὡς ἂν μὴ καὶ ταῦτ' ἀπὸ τούτων μιαίνοιντο.

Πλὴν θαυμαστὸν πῶς καὶ τὰ πρῶτα οὐ σφετερίζεσθε σώματα, ἀλλὰ (fol. 82$^{r}$) μόνα τὰ χρυσοῦ ψήγματα, οἷά τινες ἀφανεῖς μῦες || ψίχας ἢ τινας κόκκους μύρμηκες, ἐν ὀπαῖς τισιν ἀθροίζοντες ἀποτίθεσθε. μᾶλλον δὲ καὶ ταῦτα μόνοι σχεδὸν κατέχετε. ἃ τὴν εἰς ἡμᾶς ἀδικίαν μὴ φέροντα, τῶν οἰκείων ὅρων ὡς εἴρηται πολλάκις ἐξέστησαν. εἰ γὰρ εἰς κοινὴν οἰκονομίαν ταῦτα παρήχθη καὶ οὐδ' ἡ φύσις τῶν ἀλόγων τῆς μεθέξεως τούτων ἀπείργεται, πῶς τὰ ἐκ τούτων μόνοι κατέχειν θέλετε; ἢ οὐχ ὁρᾶτε τὴν τούτων ἀνυπαρξίαν καὶ ματαιότητα, πῶς εἰς ἑτέρους μεταβαίνει ταχέως καὶ ἐξ αὐτῶν αὖθις εἰς ἄλλους εὐκόλως μεταπηδᾷ; χάρις δὲ τῷ θεῷ, ὅτι καὶ τὸν ἥλιον εἰ κατασχεῖν ἠδυνήθητε, οὐδὲ τῆς τούτου ἂν ἡμᾶς ἠξιώσατε ἀπολαύσεως.

Πῶς δὲ τὰ τοῦ κοινοῦ πατρός, μᾶλλον ἡμῶν, ἐντρυφᾶτε καὶ οὐκ αἰσχύνεσθε; εἰ μὲν οὖν ἡμῶν κατ' ἀρετὴν διαφέροντες, εὖγε· μᾶλλον δὲ οὐδὲ τότε δίκαιον ἦν τοὺς τῆς ἀρετῆς ἐργάτας καὶ θεοῦ δικαιοσύνην μιμεῖσθαι ὀφείλοντας. εἰ δὲ καὶ τούτου ἄνευ, πῶς οὐ φρίττετε, ἐννο- (fol. 82$^{v}$) οῦντες εἰς ὅσον ἡ τοῦ κοινοῦ πατρὸς ἀγανάκτησις ἐπιτείνεται, || ὅταν καὶ φυσικὰ ὦσιν ὑμῖν ὁμοίως ἐγκλήματα κἀπὶ τούτοις καὐτὸ προστεθῇ τὸ ἐφ' ὑμῖν κεῖσθαι τὴν τῶν ἀδελφῶν ζωὴν καὶ τὸν θάνατον, καὶ ἀμερίμνως περὶ τούτων ἔχητε; ἀφόρητον καὶ γὰρ τὸν ἐκ τοῦ λιμοῦ θάνατον πάντες λέγουσι καὶ θανάτων πάντων τὸν χαλεπώτατον· ἀποροῦσα γὰρ ἡ ψυχὴ τῆς ἔξωθεν εἰσιούσης καταλλήλου τροφῆς τὴν φύσιν ἐξ ἀνάγκης ἐσθίει, ὡς τὸ ἐπικείμενον τὸ πῦρ σκεῦος ὅταν εὕροι τοῦτο διάκενον. διὸ καὶ τῷ φθόνῳ τηκόμεθα μᾶλλον, κἂν ἁμαρτάνωμεν, ὅταν ὁρῶμεν τοὺς πολλὰ κεκτημένους ὑμᾶς πρὸς τὴν ἡμετέραν στενοχωρίαν μὴ καμπτομένους τὸ σύνολον, μηδὲ τὴν φλογίζουσαν ἡμᾶς κάμινον τῆς πενίας κατασβέσαι σπεύδοντας διά τινος βραχυτάτου λήμματος· ἡμῖν γὰρ καὶ τὸ τυχὸν ἱκανόν.

Τὸ γὰρ φῶς ἐκεῖνο ὃ μὴ λύει τὸ σκότος εὐθέως φανέν, οὐκ ἄν τις ἐρεῖ φῶς, ὥσπερ οὐδὲ πλοῦτον ἐκεῖνον τὸν μὴ πενίαν λύοντα πλοῦτον εἴποι τις ἄν, ἀλλ' ἐσχάτην πενίαν καὶ στέρησιν· καὶ γὰρ οὐ λαμβάνει (fol. 83$^{r}$) κόρον ποτὲ ὁ πτωχὴν κεκτημένος προαίρεσιν· τὸν γὰρ ὑπὸ δίψους || φλε-

TEST.: 1 κατέπιε *cf.* Num. 16:32; 26:10.

VAR. LECT.: 1 ἀβηρών S 6 ψύγματα S 21 ἡμῖν S 33 ἐρεῖ] ἐρῆ S: mutavi, Pind. *Ne.* 7, 100 et Hom. δ 176 fretus

Digitized by Google

γόμενον, ὕδωρ δ'οὐκ ἔχοντα βλέπειν, οὐ πλέον ὁ λογισμὸς ἐνοχλεῖ· τὸν δὲ ὕδωρ ὁπουδήποτε βλέποντα, τῆς τούτου δὲ κωλυόμενον μεταλήψεως, διπλῇ ἐντεῦθεν καὶ πολλαπλῇ ἡ βάσανος γίνεται καὶ εὔχεται μηδὲ ἦν ὅλως αὐτό, μηδὲ καθεωρᾶτο τοῖς αὐτοῦ ὀφθαλμοῖς. ὡς γὰρ οὐκ ἐρεῖ τις ῥόδον τὸ μὴ τῆς ἰδίας εὐμοιροῦν τι ὀδμῆς, κἂν ἀπατᾷ τῇ ὄψει, οὐδὲ οἶνον τὸν μὴ μεθύσκοντα, οὐδὲ ἄρτον τὸν μὴ καρδίαν στηρίζοντα, οὐδὲ πῦρ ὃ μὴ φλέγει οὐδ' ὕδωρ ὃ μὴ ψύχει καὶ τὴν δίψαν ἀκεύεται, οὕτως οὐδὲ πλοῦτον τὸν μὴ τὸν πένητα τρέφοντα.

Ἢ οὐκ αἰδεῖσθε ἀκούοντες ὅσα οἱ ἐξ ἐθνῶν εἰς τοὺς ὁμοφύλους ποιοῦσι πένητας καὶ εἰς τοὺς ἡμῶν αἰχμαλώτους, πῶς οὐδένα τούτων τῆς προσηκούσης προνοίας ἀπαξιοῦσιν; ὅσον δὲ καὶ τὸ ἄτοπον, Ἑβραίους μὲν καὶ τοὺς τοῦ Μωάμεθ φιλανθρώπους εἶναι καὶ ἐλεήμονας, τοὺς δὲ Χριστοῦ μαθητάς, τοῦ φύσει φιλανθρώπου καὶ ἐλεήμονος, ἀσυμπαθεῖς εἶναι καὶ γλίσχρους πρὸς τὸ ὁμόφυλον. καὶ γὰρ δι'ἡμᾶς καὶ τὰ τοῦ παρόντος αἰῶνος εἰλήφατε ἀγαθὰ καὶ τὰ τοῦ μέλλοντος λήψεσθε,
fol. 83v ὅσοι τὸν ἔλεον || ἔχετε.

ΠΛΟΥΣΙΟΙ. 'Αλλ' οὐ θέμις τρέφειν προῖκα τοὺς μὴ δουλεύοντας.

ΠΕΝΗΤΕΣ. Ὑμεῖς δὲ τίνα δουλείαν ὑπὲρ ὧν ἀπειλήφατε τῷ δεσπότῃ διδόατε; οὐχὶ τὰ ἐπηγγελμένα καὶ αὐτοὶ ἐποφείλετε; οὐκ ἐπὶ πᾶσι σχεδὸν τοῖς πρακτέοις ὑμῶν καὶ τοῖς λόγοις ὁσημέραι προσκρούετε; οὐ τὸ παρὸν ἀκρίτως ὡς μόνιμον βλέπετε; οὐκ ἐπ' ἀθέσμῳ κήδει ταῖς θυγατράσι τῆς Σολομοντείου βδέλλης κακῶς ἐπιμίγνυσθε; οὐχὶ καὶ ἡμῶν ἐξ οἰήσεως κατεπαίρεσθε δι' ἃ ὑπολαμβάνετε τίμια, καὶ ὡς κανθάρους καὶ μυίας βδελύττεσθε; ἃ καὶ καταλιπόντες ὕστερον ἐξ ἀνάγκης γυμνοὶ εἰς κρίσιν ἀπέρχεσθε, μηδὲν πλέον λαβόντες ἢ ὅσον ταρρὸς ἐκ τοῦ φρέατος.

Πλὴν πολλὰ καὶ ἡμεῖς κοπιῶμεν ἐξ ὧν οὐδὲν ἢ ὀλίγον τὸ κέρδος γίνεται· ὑμῖν δ' ἐν βαιῷ πόνῳ μέγα κέρδος ὀπηδεῖ. ἀθυμίᾳ γὰρ πολλῇ

TEST.: 23 βδέλλης *cf.* Prov. 30:15 *sqq.* 29 βαιῷ — ὀπηδεῖ Homerum Hesiodumque redolent.

VAR. LECT.: 5 τῷ S εὐμοιροῦντι S 8 τρέφοντα] σχόλιον· οὗτοι γὰρ ἀπαξιοῦσι σύνδειπνον ποιῆσαί ποτε τὸν μὴ συνδιαιτώμενον πένησι, καὶ οὐδ' εὐχῆς κοινωνοῦσιν αὐτῷ, ἀλλ' ἐξωθοῦσι καὶ τοῦτον ἐκεῖθεν εὐθύς, καὶ τὸν μὴ ἐλευθερώσαντα τὸν οἰκεῖον χρυσώνητον, ἵνα μὴ δι' αὐτῶν καὶ αἱ τῶν ἄλλων εὐχαὶ κάτω μείνωσιν. οὕτω πρὸς ἡμᾶς διηγήσαντο πράττειν αὐτοὺς οἱ ἐκ τῆς Σκυθῶν χώρας ἀφικόμενοι ἡμέτεροι αἰχμάλωτοι in margine add. S[a] 27 ταρός S

Digitized by Google

συνεχόμεθα καὶ ὅταν ὁρῶμεν τὰ πολλοῦ ἄξια ἐν ἡμῖν παρ᾽ὑμῶν ὑβριζόμενα, καὶ μηδ᾽ εἰς ὀψώνιον βούλεσθαί τινα τῶν πωλούντων τὰ ὤνια δέξασθαι τὸ κάλλιστον πάντων ὧν ἐκ θεοῦ ἄνθρωπος ἔλαβεν, οὗ χωρὶς fol. 84^r^ οὔτε || θεὸν ἔστι γνῶναι οὔτε ἀρετῆς καὶ κακίας διάκρισιν, ἀλλὰ καὶ αὐτῶν τῶν ἐκτρωμάτων ἀθλιώτεροι ἂν ἦμεν, καὶ σύνδρομον τῇ γενέσει τὸν θάνατον εἴχομεν· ἡ οὐ διὰ μόνου τούτου καὶ ζῶμεν καλῶς καὶ σῳζόμεθα καὶ πάντων κρατοῦμεν, ἀσθενεῖς ὄντες, καὶ τῶν τετραπόδων τῆς γῆς διϊστάμεθα καὶ ἀγγέλοις καὶ θεῷ συναπτόμεθα;

< ΠΛΟΥΣΙΟΙ. > Πῶς οὖν τὸ ἀξίωμα ὑμῶν καὶ τὴν τιμὴν καθυβρίζομεν;

< ΠΕΝΗΤΕΣ. > Τῆς λογικῆς τροφῆς προκρίνοντες τὴν σωματικὴν καὶ τῆς νοερᾶς εὐφροσύνης καὶ οὐρανίας τὴν σαρκικήν τε καὶ γήϊνον, ὧν ἡ μὲν εἰς ψυχὴν διαβαίνει, ἡ δὲ εἰς ἀφεδρῶνα χωρεῖ καὶ τοῖς ἀποπάτοις ἐκπέμπεται· διὸ καὶ ὅσον ὑπερτερεῖ ψυχὴ σώματος, κατὰ τοσοῦτον ὑπερέχει ὁ τοῦ λόγου δοτὴρ τοῦ τὸν ἄρτον παρέχοντος.

ΠΛΟΥΣΙΟΙ. Οὕτως ὥρισται, ἵν᾽ ὑμεῖς μὲν ἀεὶ κακοπραγῆτε καὶ τὰ πάνδεινα πάσχητε, ἡμῖν δὲ πανταχόθεν κατὰ ῥοῦν τὰ πράγματα φέρηται.

ΠΕΝΗΤΕΣ. Ἀλλὰ τοῦτ᾽ ἀμφίβολον, ὦ σοφώτατοι· ἐπείπερ ἔδει πάντας πλουσίους ἀγαθοὺς εἶναι, ὡς ἐκ θεοῦ ἔχοντας τὸ πλουτεῖν, καὶ fol. 84^v^ πάντας πένητας πονηρούς, ὡς ἐρήμους || ὄντας θεοῦ. ἀλλ᾽οὐκ ἔστι τοῦτο, οὐκ ἔστι· μὴ γὰρ ἂν καὶ τοῦθ᾽ ἡμῖν γένοιτο τὸ ἀτύχημα, ὡς ἀλλοτριωθῆναι καὶ αὐτοῦ τοῦ θεοῦ· μηδ᾽ ὑμεῖς οὕτω μανείητε ὡς τοιαῦτ᾽ ἄτοπα ἐννοεῖν καὶ λέγειν, καὶ ἀλλοτρίους ὑπολαμβάνειν θεοῦ τοὺς πένητας, οὓς αὐτὸς ἐμακάρισε, μᾶλλον καὶ ὡς ἀδελφοὺς οἰκειώσατο. ἢ πῶς ἐπτώχευσαν καὶ ἐπείνασαν πλούσιοι; πῶς δὲ καὶ οἱ τὰ σφῶν ἀγαθὰ ὧδε ἀπολαύοντες ἐκεῖσε τούτων ἐστέρηνται; πρόδηλος γὰρ ἄρα ἡ αἰτία τῆς

TEST.: 13 εἰς ἀφεδρῶνα *cf.* Mar. 7: 19.

VAR. LECT.: 1 ὅταν] σχόλιον· ἡ ψυχή, ἀεικίνητος οὖσα, ζητεῖ ἐφ᾽ ᾧ τὴν ἀσχολίαν ἀεὶ ποιήσεται· καὶ εἰ τύχοι τοῦ λόγου, εὐθέως ἀψαμένη, πράγματος οἰκείου αὐτῆς, τῶν ἄλλων σχεδὸν οὐδενὸς ἐπιστρέφεται· εἰ δὲ τούτου μὴ εὐμοιρήσασα, ἐπ᾽ ἐκείνοις ἐξ ἀνάγκης τὴν ῥοπὴν ἀπευθύνει, ἐφ᾽ οἷς ἐκ τοῦ προχείρου ἐνέτυχεν· ὥστε πᾶσα ψυχή, εἰ μὴ ἐκ τοῦ οἰκείου ἔργου < ἀφήμ > αρτεν, οὐκ ἂν ποτε τοῦ ἀλλοτρίου ἀντεποιήθη· καὶ γὰρ καὶ μυλῶνα ἴδωμεν (*leg.* εἴδομεν ?) ἀλήθοντα, ὅταν μὴ παρ < άσχη τι > ς κέγχρον ἢ κριθὰς ἤ τι τῶν σπερματικῶν ἕτερον in margine add. S^2^ 1 ἐν ὑμῖν παρ᾽ ἡμῶν S 5 ἀθλιότεροι S 9 lemma supplevi 11 lemma supplevi 13 post εἰς^1^ spatium trium litterarum S 17 κατὰρροῦν S 18 ΠΕΝΗΤΕΣ] καὶ γὰρ συγκεκλήρωται τῷ λόγῳ ἡ πενία, ὥς πού τις σοφὸς (Si. 10:30?) ἐγνωμάτευσεν in margine add. S^2^ 21 ποῦθ᾽ S 26 ἐστέρηνται] σχόλιον· ὡς γὰρ πολλαὶ φυσαλίδες ὑπὸ μιᾶς καταποθεῖσαι — ὕστερον καὶ αὕτη ἀθρόον διαρραγεῖσα φροῦδος ἐγένετο, οὕτω καὶ τὰ τοῦ φιλαργύρου πράγματα, ἐκ πολλῶν εἰς αὐτὸν συναχθέντα καὶ ἐξοιδήσαντα, ἐξαίφνης εἰς ἀφανισμὸν ταῦτα χωρεῖ, ὡς καὶ τὰ τῆς ζωῆς στοιχεῖα εἰς τὰ ἐξ ὧν συνέστηκε in margine add. S^2^

Digitized by Google

τῶν χρημάτων κτήσεως τῷ νοῦν ἔχοντι· ἢ γὰρ ἐξ ἐπιστήμης ἐπλούτησέ τις ἢ ἐξ ἐμπορίας, ἄλλοι δ' ἐξ ἐγκρατείας, καὶ ἐξ ἁρπαγμάτων ἕτεροι, καὶ ἐκ δυναστείας πολλοί, ἢ καὶ ἐκ πατρῴου κλήρου καὶ τῶν τοιούτων. ἐπτώχευσαν δ' αὖθις ἀπὸ τῶν ἐναντίων ἕτεροι.

Πλὴν εἰ τὴν θάλασσαν τοῦ βίου ἀκυμάντως διανήξασθαι βούλεσθε, εἰς ἡμᾶς ἵλεων ἐπιβλέψατε καὶ μέρος τι τοῦ φόρτου τῶν ὑμετέρων ὁλκάδων τοῖς ἡμῶν ἀκατίοις ἐμβάλλετε, ὡς ἂν ἀμφότεροι ἐντεῦθεν εἰς τὸν τῆς σωτηρίας ὑπὸ θεῷ κυβερνήτῃ καθορμισθῶμεν λιμένα, μηθ' ὑμεῖς
fol. 85r τῷ βάρει καταδυόμενοι μηθ' || ἡμεῖς αὖθις διὰ κουφότητα ἀστατοῦμεν καὶ ἐπὶ θάτερα νεύομεν.

ΠΛΟΥΣΙΟΙ. Οὐ κατὰ λόγον, ὦ κακοδαίμονες, ταυτὶ διατείνεσθε· τὰ γὰρ καθόλου ἕλκει τὰ μέρη καὶ οὐ τοὐναντίον· ὡς καὶ ὁ ἥλιος τὴν ὀπτικὴν δύναμιν ἀφαιρεῖται τῷ ἀντωπίσαι οἱ βεβουλημένῳ.

ΠΕΝΗΤΕΣ. Ἀλλ' ἡμῖν, ὠγαθοί, τὸ πᾶν ἐξέλιπε, καὶ οὔτε μέρος ἐναπελείφθη οὔτε μέρους πολλοστημόριον, ἀλλὰ σώματα μόνον γυμνὰ καὶ ἡ τούτων ταλαιπωρία καὶ ἀθλιότης, ὥστε οὐκ ἔχετέ τι λαβεῖν ἐξ ἡμῶν, ὡς οὐδὲ ὁ Ἀπόλλων ἐξ ἀλαοῦ. διὸ τῶν τοιούτων παυσάμενοι ψυχρῶν ἀπολογιῶν συγκατέλθετε μᾶλλον ἡμῖν εἰς τὴν κάμινον τὴν ἀεὶ καταφλέγουσαν ἡμᾶς τῆς πενίας, ὅπως ἄκαυστοι μείνητε ὡς οἱ τρεῖς παῖδες ἐκ τῆς Βαβυλωνίας καμίνου καὶ τῆς ἡμετέρας ὡς ἐκεῖνοι δρόσου μετάσχητε. οὐ γὰρ ἀνέξεται ὁ κοινὸς πάντων πατὴρ ἄδικος καλεῖσθαι διὰ τὴν ἀπληστίαν ὑμῶν καὶ τὴν ἄμετρον ἀνισότητα. ἢ οὐχ ὁρᾶτε τί γίνεται, ὅταν στοιχεῖον πλεονεκτήσῃ καὶ τοῦ τόπου τῶν λοιπῶν ἐπιλάβηται; οὐκ εὐθὺς μετὰ τοῦ οἰκείου καὶ ὃ προσείληφε προσαπώλεσε,φθορὰν τοῦ ζώου κατ-
fol. 85v εργασάμενον; ||

Τί δὲ καὶ ὅταν τὰ πρὸς ἡμᾶς ἀποφεύγετε κήδη καὶ τὰς συνεσθιάσεις καὶ συνουσίας, οὐ τὴν ὑμετέραν φύσιν σαφῶς ἀποστρέφεσθε; τί δὲ καὶ εἰς τὴν φύσιν ὑμῶν παραβλάπτεσθε, ὅταν ἀγαθῷ μὲν ἀνδρὶ πένητι δὲ συγκαθίσητε ἢ προσαγορεύσητε ἢ πρὸς γάμου κοινωνίαν συνέλθητε; οὐκ οἴδατε τὸν υἱὸν τοῦ θεοῦ μετ' ἀνθρώπων συνδιαιτώμενον καὶ δόξαν τὸ πρᾶγμα ἀλλ' οὐκ ἀτιμίαν οἰόμενον; εἰ ἠδικήθη ποτὲ ταὼς εἰς τὴν ἑαυτοῦ φύσιν κολοιῷ εἰ τύχοι συνεσθιόμενος, ἠδικήθητε ἂν καὶ αὐτοὶ πένησι κοινωνήσαντες· καὶ γὰρ ἐκεῖ μὲν κοινωνία τῆς ὕλης μόνον, ἐνταῦθα δὲ ταὐτότης καὶ εἴδους καὶ φύσεως· πλὴν οὐκ ἐξ ὕλης μόνον ἀλλὰ καὶ ἐξ ἀϋλίας, ὡς οἴδατε, συνετέθημεν, ἐν ᾗ τὴν εὐγένειαν ἐπίσης ἅπαντες ἔχομεν· καὶ οὐ χρὴ τῇ μὲν καθάπαξ προστετηκέναι, τὴν δ' ἀϋλίαν βδε-

TEST.: 17 Ἀπόλλων *cf.* Hom. K 515? 19 παῖδες *cf.* Dan. 3:12 *sqq.*

VAR. LECT.: 9 malim ἀστατῶμεν et paulo post νεύωμεν 14 ὦ 'γαθοί S 22 ἡμῶν S 35 ἐν — 36 ἔχομεν in margine $S^2$

Digitized by Google

λύττεσθαι, δι' ἣν μάλιστα τῷ θεῷ κατὰ τὸ ἐφικτὸν ἄνθρωπος ἐξομοίωται.

Διὰ τί δὲ καὶ τῷ γάμῳ οὐ πρὸς ἀσφάλειαν σωφροσύνης καὶ ἁγιασμοῦ χρώμεθα, ἀλλὰ μάλιστα πρὸς ἐμπορίαν καὶ καπηλείαν, ἐξ οὗ δῆτα
fol. 86r τρόπου πολλάκις || καὶ ἐσφάλησαν οἱ τὸ μέτριον φεύγοντες, ἀπωλέσαντες καὶ τέκνα καὶ πράγματα; τί γὰρ αἱ μηδὲν ἔχουσαι κόραι δράσουσιν; ἆρ' οὐ καὶ τὰς ψυχὰς σὺν τοῖς σώμασιν ἐξ ἀνάγκης διαφθεροῦσι δι' ἀπληστίαν τὴν ὑμετέραν; δέον τὴν μηδὲν ἔχουσαν κόρην τῷ πλουσίῳ νυμφίῳ συνέρχεσθαι καὶ τὸ ἀνάπαλιν· καὶ οὕτως ἂν ἐκ μέσου ἡ πενία ἐγένετο, ἥτις, ὡς οἶμαι, τῷ βίῳ οὐκ ἄλλως ἐπιπολάζει ἀλλ' ἢ διὰ τὸ τὰ ὅμοια τοῖς ὁμοίοις συνέρχεσθαι, τῶν δ' ἐναντίων ἡ μίξις, τὰς ἀκρότητας τούτων ἀποφυγοῦσα, τὴν σῴζουσαν μεσότητα παραδόξως ἐποίησεν.

'Αλλ' ἵνα μὴ ἐκ τῶν ἴσων καὶ ἄμφω φθαρῶμεν τὰ μέρη, μετάδοτε ἡμῖν ἐκ τοῦ ὑμῶν περισσεύματος, ἵνα μὴ σκώληξ τοῦτο γενόμενον — ὡς τὸ μάννα πάλαι τῷ 'Ισραήλ, ὅσον ὑπὲρ τὴν χρείαν συναγόμενον εἰς τὴν αὔριον ἐταμιεύετο — κατεσθίῃ ὑμᾶς εἰς αἰῶνα τὸν ἄπειρον. αἰδέσθητε τὴν κοινὴν φύσιν καὶ τὴν τῶν ἐμψύχων τε καὶ ἀψύχων
fol. 86v πρὸς πάντα μετάδοσιν· πῶς οὐκ αὐτοῖς τὰ οἰκεῖα, ἀλλὰ || τοῖς πᾶσιν εἰς ἀπόλαυσιν χορηγοῦσι τε καὶ προσοδεύουσι; θρέψατε ἡμᾶς ὡς τοὺς κύνας ὑμῶν καὶ ὡς τοὺς ἵππους περικαλύψατε· μᾶλλον δὲ τὸν Χριστὸν δι' ἡμῶν, ὃς τὰ εἰς ἡμᾶς γενόμενα πάντα εἰς ἑαυτὸν ἀναδέχεται. αἰσχύνθητε τὸν τρέφοντα ὑμᾶς τῇ οἰκείᾳ σαρκί, καὶ μὴ τὰς σάρκας τῶν ἵππων ἀργυρίῳ καταχοσμεῖτε, τὰ δὲ μέλη ἡμῶν, μᾶλλον δὲ Χριστοῦ τὰ τίμια, γυμνὰ παρορᾶτε, τηκόμενα τῷ λιμῷ καὶ τῷ ψύχει πηγνύμενα. πῶς γὰρ ἀνέξεται τοῦτο ὁ καὶ τὰ ἑαυτοῦ δι' ἡμᾶς παραιτούμενος; ἀρκεῖ γὰρ ὑμῖν ὅτι ὁ δεσπότης ὑμᾶς ἐξελέξατο καὶ εἰς τὴν κρείττω μοῖραν κατέστησεν, εἴγε τοῦ λαμβάνοντος ὁ διδοὺς κρείττων, καὶ μέγα διὰ τοῦτο ἄνθρωπος καὶ τίμιον καὶ τὴν προσηγορίαν τοῦ δικαίου δεχόμενος, ὡς τοῦ ἁμαρτωλοῦ ὁ δανειζόμενος ἡδέως καὶ τὴν ἔκτισιν φεύγων.

Ἔστω ὑμῶν ἡ τρυφὴ καὶ ἡμῶν ἡ τροφή, ὡς καὶ ἡμῶν οἱ ὀφθαλμοὶ καὶ ὁ λάρυγξ ὑμέτερος· αἱ ῥᾶγες ἡμῶν καὶ ὁ τρυγητὸς ὑμέτερος, ὑμῶν ὁ ἀνθοσμίας καὶ τὰ χρυσᾶ ἐκπώματα καὶ ἡμῶν ὁ νεκρὸς

---

TEST.: 1 ἐξομοίωται *cf.* Plat. *Theaet.* 176 ab. 15 τὸ μάννα — 16 ἐταμιεύετο *cf.* Ex. 16: 19—20.

VAR. LECT.: 21 ἡμῶν] ὑμῶν S: ἡμ — Sx e corr. 23 malim καταχοσμῆτε 23 μᾶλλον δὲ] σχόλιον· ἰστέον δὲ ὡς οὔτε χρόνος οὔτε τὰ ὑπ' αὐτὸν τὸ στάσιμον ἔχει καὶ βέβαιον, ἀλλὰ καὶ ἔαρ διαδέχεται θέρος καὶ πλοῦτον πενία καὶ εὐφροσύνην λύπη καὶ ὑγείαν νόσος καὶ θάνατος ζωήν· καὶ οὐκ ἔστιν ἁπλῶς οὐδὲν ὃ μὴ τὸ αὐτοῦ ἐναντίον διαδέχεται. ἐκ τῶν ἐναντίων γὰρ τἀναντία γίνεται (*cf.* Plat. *Phaedo* $70_e$; $71_a$) in margine add. $S^2$ 27 μοίραν S 31 ῥάγες S ἡμῶν] ὑμῶν S: ἡμ — Sx e corr. 32 ἐκπόματα S

Digitized by Google

fol. 87r καὶ ἐξίτηλος οἶνος καὶ σκεύη τὰ πήλινα· ὑμῶν || ἡ ἐσθὴς ἡ λαμπρὰ καὶ χρυσόπλοκος καὶ ἡμῶν τὰ ἐκ τριχῶν ὑφάσματα· ὑμῶν ἡ χλιδὴ καὶ τὰ διάφορα πόπανα καὶ ἡμῶν ὁ μὴ ἄρτιος ἄρτος καὶ τὸ τάριχος· ὑμῶν οἱ στατῆρες τῆς πρώτης τοῦ χρυσοῦ ποιότητος ἐν ξυλίνοις χύδην βαλλαντίοις ταμιευόμενοι, καὶ ἡμῶν οἱ ἐξ ἀργύρου καὶ χαλκοῦ συγκείμενοι ὀβολοί, καὶ οὗτοι διὰ τροφὴν τὴν ἐφήμερον· καὶ ὑμῖν μὲν τὸ πᾶν πρὸς ἡδονήν, ἡμῖν δὲ τὸ πρὸς τὴν χρείαν ἔστω καὶ αὐτὴν τὴν ἀνάγκην τῆς φύσεως· ἐπείπερ ὑμῖν ἡ ἀφθαρσία δέδοται καὶ ἡμῖν ἡ ἀθλιότης κεκύρωται.

Ἀρκεῖ ὑμῖν ἡ παρρησία καὶ τὸ πάντας ἐπακροᾶσθαι τῶν λόγων ὑμῶν καὶ τὸ οὖς αὐτοῖς ὑποτίθεσθαι, κἂν ὁποῖοι τύχωσιν ὄντες· τὸ ἱππότας βαίνειν ἀεὶ καὶ παρασίτους ἐπισύρειν καὶ κόλακας· τὸ λαμπρειμονεῖν ὁσημέραι σχεδόν· τὸ πανηγυρίζειν καὶ τέρπεσθαι· ἡ διόλου φλεγμαίνουσα τράπεζα· οἱ λαμπροὶ κοιτῶνες καὶ πάντων εἰς ἑαυτοὺς τὰ ὄμματα ἕλκοντες· καὶ τὰ ἐπὶ τούτοις ἐκ χρυσοῦ καὶ ἀργύρου ξένα καὶ ποικίλα ὑφάσματα καὶ οἱ ξενοφανεῖς καὶ ὡραιότατοι τάπητες· ἡ τῶν
fol. 87v φίλων || πληθὺς καὶ τὰ τούτων πρὸς χάριν ἐγκώμια· ἡ τῶν οἰκετῶν θεραπεία· τῶν λουτρῶν τὸ θυμῆρες· ἡ τῆς ζωῆς ἐκ τῶν ἀρίστων ἰατρῶν καὶ τῶν φαρμάκων πρόνοια· ἡ τῶν μύρων εὐωδία καὶ τὰ ἐξ Αἰγύπτου ἀρώματα· ἡ τῶν οἴκων τερπνότης καὶ ἡ ἐκ τῶν τριστέγων κατὰ καιρὸν τῶν φιλτάτων ἀέρων ἀναπνοή· ἡ ἐν ταῖς συναγωγαῖς πρωτοκαθεδρία· ἡ τῶν κτημάτων περιουσία καὶ ἡ τούτων ἀπόλαυσις· ἡ παρὰ πάντων αἰδὼς καὶ τιμὴ καὶ προσκύνησις· ἡ ταχίστη τῶν θελημάτων ἐκπλήρωσις καὶ ὁ λοιπὸς τῶν ἀγαθῶν ὁρμαθός, ὅσα τε γῆ ἐκ τῶν τερμάτων αὐτῆς προσοδεύει καὶ θάλασσα· ὧν ἁπάντων ἡμεῖς στερούμεθα οἱ πενίᾳ συζῶντες διηνεκεῖ καὶ μηδενὸς ὅλως τούτων μετέχοντες. καὶ γὰρ πρὸς τὰς τῶν ὡρῶν ποιότητας καὶ μεταβολὰς καὶ ὁ στολισμὸς ὑμῖν εὐθὺς μεταμείβεται, ἡμᾶς δὲ τὸ τυχὸν ἀεὶ ἀμφικαλύπτει ὠρφανισμένον τριβώνιον ῥύπου καὶ φθοροποιῶν ζωϋφίων καὶ κακίστων ἀνάμεστον· τὸ δὲ χαλεπώτερον, ὅτι καὶ ἑτέρα τις κόλασις ἀπαραίτητος ἡμᾶς ἀπεκδέχεται, ἐὰν
fol. 88r μὴ πρὸς ταῦτα εὐχαριστῶμεν, ὑμῖν δὲ καὶ βασιλεία || ἐλπίζεται ἐὰν πρὸς ἡμᾶς ἵλεων βλέπητε.

Ἀναπλάσατε τοίνυν συντριβέντας ἡμᾶς, οὓς ὁ χρόνος μανεὶς τῇ αὐτοῦ βαρυτάτῃ κορύνῃ ἀθλίως συνέτριψε, τῇ τῶν οἰκείων ἀταξίᾳ παίδων, ἵνα καὶ ὁ κοινὸς ἡμῶν πατὴρ τὰς ὑμετέρας ἀναπλάσῃ ψυχὰς καὶ φωτοειδεῖς ἀπεργάσηται· εἴ τι γὰρ εἰς τὸν ἐκτὸς ἡμῶν ποιήσητε ἄνθρωπον, τοῦτ' αὐτὸ εἰς τὸν ἐντὸς ὑμεῖς ἀπολαύσητε παρὰ τοῦ κοινοῦ πα-

TEST.: 20 πρωτοκαθεδρία *cf* Luc. 11:43. 35 ἐκτὸς — 36 ἀπολαύσητε *cf.* II Cor. 4:16.
VAR. LECT.: 4 βαλαντίοις S 11 λαμπρημονεῖν S 28 ῥύπου καὶ S² supra versum 34 ἡμετέρας S



Digitized by Google

τρός· ἐκ τῶν περιττῶν ἡμᾶς δεξιώσασθε, φίλοι καὶ ἀδελφοί, κἂν καὶ τοῦτο βδελύττεσθε καὶ ἡ ἀκοὴ ὑμῶν οὐ προσίεται· φίλος γὰρ πενήτων οὐδεὶς οὐδὲ ἀδελφός, εἰ μή πού τις χρεία δι᾽ ἀνάγκην τοῦ ἐπιτηδεύματος ἡμῶν γένηται, καὶ τότε μόλις· εἶτα ὡσεὶ νεκρὸς ἐπελήσθην ἀπὸ καρδίας ὁ πρὸ ὀλίγου τάχα φιλούμενος.

Πλὴν εἰ καὶ δυσγενεῖς διὰ τὴν αὐλίαν δοκοῦμεν ὑμῖν, ἀλλὰ καὶ χρήσιμοι ἔσθ᾽ ὅτε πεφύκαμεν· τῇ ὕλῃ γὰρ ἀλλ᾽ οὐ τῇ φύσει ὑμῶν διϊστάμεθα, καὶ τῆς παρ᾽ ἡμῶν ἀναγκαίως καὶ αὐτοὶ βοηθείας δεῖσθε. ἐξ ἡμῶν γὰρ οἱ τὴν γῆν ἐργαζόμενοι, οἱ τὰς οἰκίας, οἱ τὰς ὁλκάδας, οἱ χειρεπιστήμονες, δι᾽ ὧν αἱ πόλεις πᾶσαι συνίστανται· ἐξ ὑμῶν δ᾽αὐτῶν τίνες;
fol. 88ᵛ — ῥητέον γὰρ καὶ τοῦτο, εἰ καὶ ὑμῖν || ἐπαχθές — κυβευταὶ καὶ τρυφηταὶ καὶ οἱ τὰς κοινὰς συμφορὰς ἐξ ἀπληστίας πραγματευόμενοι καὶ οἱ τὰς πόλεις συγχέοντες καὶ τὴν πενίαν αὐξάνοντες· κεχαρισμένα γὰρ ἂν ἔδοξε τῷ θεῷ δράσας καὶ ὁ τοῦ κοινοῦ προστάτης, τοὺς μηδὲ τῶν οἰκείων προνοουμένους εἰ τοῦ ἀρχείου ἐξώθησεν, ἵνα μὴ ἐκ τῆς σφῶν κακίας καὶ αὐτὸς ἂν μολύνοιτο.

ΠΛΟΥΣΙΟΙ. Πολλὰ καθ᾽ ἡμῶν, ὦ κηφῆνες, ἀδεῶς ἐξεμέσατε κέρτομα ῥήματα, ὧν τὰ πλείω τῶν δύο ἄκρων καθάπτονται· μάλιστα ἐκ τούτων γὰρ κλεψίαι καὶ μέθαι καὶ βλακίαι καὶ διαβολαὶ καὶ φθόνοι καὶ φόνοι πεφύκασιν· ὑμεῖς δὲ ταῦτα τῇ μεσότητι οὐ καλῶς ἐπιγράφεσθε.

ΠΕΝΗΤΕΣ. Ναὶ καὶ ἡμεῖς ἐκ τῶν ἄκρων τούτων οὐδ᾽ ὀβολόν ποτ᾽ εἰλήφαμεν, οὐδέ τι τῶν ἀναγκαίων ἕτερον· ἐπεὶ τὸ μὲν ἀπὸ κακίας τῶν ἀναγκαίων ἐστέρηται καὶ τῆς ἡμῶν συγκοινωνεῖ ἀθλιότητος, τὸ δὲ ἀσπλαγχνίαν ἐνδεδυμένον καὶ οἴησιν οὐδέποτε πρὸς ἡμᾶς ἵλεων ἔβλεψεν, εἰ μή τις πρέσβυς ἐκ τοῦ Χάροντος τούτοις ἥξει ταχύς· τότε γὰρ μόλις ἡμῶν ἐμνήσθησαν· τὸν δ᾽ ἄλλον ἅπαντα χρόνον εἰς τοὺς ὑμετέρους ἀφο-
fol. 89ʳ ρῶμεν οἰκτιρμούς, πρὸς οὓς καὶ τοὺς λόγους || θαρρούντως ποιούμεθα.

ΠΛΟΥΣΙΟΙ. Ἀλλ᾽ εἰ πρὸς ὑμᾶς, ὦ οὗτοι, τὸν ἡμέτερον μεταδοίημεν πλοῦτον, καὶ οἱ παῖδες ἡμῶν καθ᾽ ὑμᾶς γενήσονται.

ΠΕΝΗΤΕΣ. Ἀλλ᾽ ὁ τοῦ πνεύματος κατισχύει λόγος, ὦ θαυμάσιοι, ὁ φάμενος μὴ γινώσκειν ὑμᾶς τίνι ταῦτα συνάξετε· καὶ οὐθ᾽ ἡ θεοπάροχος εὐχὴ συγχωρεῖ τὸ τοσαῦτα κτᾶσθαι καὶ ταμιεύειν τοὺς τὸν ἐφήμερον ἄρτον ἐκ θεοῦ αἰτουμένους· ὅπερ οὐδ᾽ Ἑβραίων ἔδρασαν παῖδες

TEST.: 17 κέρτομα ῥήματα Homerum redolent. 31 μὴ — συνάξετε *cf. Ps.* 38 (39):7. 32 εὐχή oratio dominica. 33 Ἑβραίων *cf.* Ex. 16:17 *sqq.*

VAR. LECT.: 6 δυσγενεῖς] σχόλιον· εἰσὶ δέ τινες οἱ καὶ τὸν πρὸς ἡμᾶς ὀφειλόμενον πολλάκις ἀποστεροῦσι μισθόν, ὃ καὶ τῷ πάλαι νόμῳ [cf. Si. 31 (34): 22] ὡς φόνος κέκριται in margine add. S² 24 καὶ οἴησιν S² supra versum

Digitized by Google

ὅτε βεβαίαν ἐπὶ κύριον ἔθεντο τὴν ἐλπίδα, οὐθ' ὁ δίκαιος συγχωρεῖ λόγος περὶ τῶν μελλόντων φαντάζεσθαι τοὺς μὴ γινώσκοντας τί μεθ' ὥρην· ἀπείργει δὲ τοιαῦτα λογίζεσθαι καὶ ἡ θεία παραβολὴ οὗ εὐφόρησεν ἡ χώρα πλουσίου· ἢ πῶς προνοηθήσεται τῶν τέκνων ὑμῶν ὁ πατὴρ τῶν πνευμάτων, αἰτίων τούτων γενομένων τῆς ἐνδείας τῶν ἄλλων; καὶ γὰρ δικαιοσύνη αὐτόχρημα οὗτος ὢν ζηλοτυπεῖ εἰκότως καὶ οὓς ἐρήμους οἶδε τοιαύτης κηδεμονίας παῖδας, τούτων αὐτὸς δικαίως τὴν πρόνοιαν ποιεῖται, καὶ ἐπισήμους δείκνυσι καὶ λαμπροὺς
fol. 89v τοὺς σαρκικῶν πατέρων προνοίας μὴ || εὐμοιροῦντας.

Ἢ οὐ διδάσκουσιν ὑμᾶς τὰ καθ' ἡμέραν βλεπόμενα ὅσον τῶν παρ' ὑμῶν πλουτισθέντων ὑπερφέρουσι παίδων ὧν ἡ πρόνοια γυμνῶν ἀντελάβετο καὶ ἀπρονοήτων; οὐδεὶς γὰρ εὖ φρονῶν ταύτην ἀνταλλάξαιτο πρὸς τὰ Κροίσου χρήματα. διὰ τί δὲ καὶ τὴν ἀνήκουσαν ἡμῖν κατὰ νόμους ἐκ τῶν πόνων ἡμῶν μερίδα οὐχ' ἡμῖν παρέχετε σωτηρίας ὑμῶν ψυχικῆς ἕνεκεν, ἀλλὰ καὶ ταύτην τελευταῖον πρὸς τοὺς παῖδας ὑμῶν παραπέμπετε, πάντα κατ' ἐμπάθειαν ποιοῦντες; ἢ οὐκ ἠκούσατε τοῦ δοτῆρος τῶν ἀγαθῶν, τίνων ἕνεκεν τὴν αὐτοῦ βασιλείαν χαρίζεται; εἰ μὲν δι' υἱοὺς καὶ θυγατέρας, εὖγε· εἰ δὲ δι' ἡμᾶς αὐτούς, ματαία ἄρα ὑμῶν ἡ ἐλπίς. καὶ γὰρ διὰ τὸν πρὸς ἡμᾶς οἶκτον εἰς τὰς ἀφθάρτους προσκαλεῖσθε παστάδας, διὰ δὲ τὰς ἀμέτρους πρὸς αὐτοὺς δωρεὰς ἀνηλεῶς ἐπὶ τὰς κολάσεις ὠθεῖσθε.

ΠΛΟΥΣΙΟΙ. Τί δὲ εἰ χαλεπὸν ἥξει γῆρας, καὶ αἱ τούτῳ ἑπόμεναι ἀρρωστίαι, ἤ πού τις δυστυχία ἑτέρα ἐκ τῆς τοῦ βίου περιπετείας καὶ οὐκ ἐπικουρήσει χρυσός· οὐκ εὐθέως αἰσχίστῳ τεθνηξόμεθα μόρφ;

fol. 90r ΠΕΝΗΤΕΣ. || Οὐμενοῦν, ἀλλ' ἔστι Χριστὸς ἀντὶ τοῦ χρυσοῦ, πρὸς ὃν ἡμεῖς ἀεὶ βλέπομεν καὶ παρ' οὗ γεγόναμεν καὶ ἐξ οὗ ζῶμεν, καὶ τὸ ἐνδέον ἅπαν ἀγαθοδότως ἀναπληρώσει τοῖς πρὸ τῶν κάτω τὰ ἄνω ἐφιεμένοις.·τούτοις γὰρ κατὰ τὸν αὐτοῦ λόγον ἐξ ἀνάγκης ἕψεται καὶ τὰ κάτω, ὡς τῷ σώματι ἡ σκιά· ἢ οὐκ οἴδατε, ὡς ὁ λογισμὸς οὗτος τὴν εἰς θεὸν ἐλπίδα ἀπὸ τῆς ψυχῆς αἴρει καὶ τὴν πίστιν ἀμβλύνει καὶ τοῦ θεοῦ τὸ φιλόδωρον; καὶ γὰρ ἐδίδαξεν ἡμῖν ἡ πεῖρα τὴν ἐλπίδα οἴεσθαι βεβαιοτέραν τῶν ὧν ἀνὰ χεῖρας ἔχουσιν ἕτεροι. δυ-

TEST.: 2 μὴ — μεθ' ὥρην *cf.* Apoc. 3:3? 3 παραβολὴ — 4 πλουσίου *cf.* Luc. 12:16. 5 πατὴρ τῶν πνευμάτων *cf.* Num. 16:22. 17 τίνων — χαρίζεται *cf.* Luc. 6:20. 28 κατὰ — λόγον *cf.* Mat. 6:33; Luc. 12:31; *cf.* Col. 3: 1-4.

VAR. LECT.: 13 ὑμῖν S 14 ὑμῶν S 14 σωτηρίας — 15 ἕνεκεν S$^2$ in margine 20 προσκαλεῖσθαι S 25 οὐμενουν S 27 ἀναπληρώση S 31 πεἰρα S



Digitized by Google

νατὸς γάρ ἐστι πάντως καὶ ἐκ πέτρας ἀνίκμου ὕδωρ ῥᾳδίως πηγάσαι καὶ ἐξ ὀλίγων ἄρτων χιλιάδας κορέσαι· τὸ δὲ δύστροπον ὑμῶν, τὸ τῆς γνώμης ἄπιστον καὶ ἀβέβαιον, ποιεῖ στενὴν τὴν χεῖρα τὴν τὸ πᾶν διοικοῦσαν.

Πλὴν εἴπερ ἐπ' ἐρημίας ἦμεν, ῥᾴδιον ἦν αὐτῷ καὶ ἡμᾶς νῦν διατρέψαι, ὡς πάλαι τοὺς ἀγνώμονας Ἰουδαίους· ἐνταῦθα δὲ τὴν ὑμετέραν γυμνάζων διάκρισιν καὶ ὑπακοὴν καὶ αὐτῶν τῶν ἀναγκαίων fol. 90v πολλάκις ἀποστερεῖ δι' ὑμᾶς, ὡς ἂν διὰ τοῦ πρὸς || ἡμᾶς οἴκτου σωτηρίας τύχητε.

ΠΛΟΥΣΙΟΙ. Ἀλλὰ πολλοὶ καὶ ἐξ ὑμῶν, ὦ βέλτιστοι, ἱκανὰ κεκτημένοι ἐπαιτεῖν ἐξ ἀπληστίας οὐ παύονται, ἔνιοι δὲ καὶ τὰ μέλη γυμνοῦσι τὰ ἑαυτῶν χειμῶνος ὥρᾳ, πενίαν ἄκραν ὑποκρινόμενοι καὶ τοὺς ὀδόντας βρύχουσιν, ἵν' εἰς οἶκτον ἐντεῦθεν τοὺς ὁρῶντας ἑλκύσωσιν, ὧν χάριν καὶ οἱ μηδὲν ἔχοντες ἀπιστοῦνται καὶ τῷ λιμῷ διαφθείρονται.

ΠΕΝΗΤΕΣ. Ἀλλ' οὐ τοιαῦτ' ἐκεῖνοι κατὰ τῆς ἑαυτῶν ζωῆς ἐπενόησαν, εἰ πρόχειροι ὑμεῖς ἦτε εἰς εὐποιΐαν· ἀπείργει δὲ καὶ ἡ ἐντολὴ τοὺς κατὰ μίμησιν θεοῦ ἐλεοῦντας τοιαῦτα λογίζεσθαι καὶ πολυπραγμονεῖν καὶ ἡμᾶς ἀγαπᾶν ὡς ἑαυτοὺς ἐπιτρέπει.

ΠΛΟΥΣΙΟΙ. Ὑμεῖς δὲ πῶς οὐκ ἐπικάμπτεσθε ταῖς ἡμῶν συμφοραῖς; ἤ, ὡς ἔοικεν, ἀγνοεῖτε τὰς καθ' ἡμῶν τῶν κρατούντων ὀργὰς καὶ τὰς ἐκ τῶν ἴσων ἐπιβουλὰς καὶ διαβολὰς καὶ τὸν ἕρποντα φθόνον τοῖς εὐτυχοῦσι, καὶ ὅση ἡμῖν ἐστιν ἡ φροντὶς εἰς τὸ αὐξῆσαι τὰ ὄντα fol. 91r καὶ ὅσος αὖθις ὁ φόβος ἐπίκειται εἰς τὸ φυλάξαι αὐτά, καὶ διὰ || τοῦτο μακαρίους ὑπολαμβάνετε. καὶ γὰρ δυσκολώτερόν ἐστι διασώσασθαι ταῦτα ἢ κτήσασθαι. μάθετε δέ, ὡς οὐ τὸ τρυφᾶν ἐστιν ἡδονὴ ἀλλὰ τὸ ἀνωτέραν φροντίδων τὴν ψυχὴν ἔχειν, τὸ ἀμερίμνως ὑπνεῖν, ὅπερ ἡμῖν ἀφαιρεῖται ἡ τοῦ πλούτου φροντὶς καὶ αἱ τῶν ἐπικειμένων πανταχόθεν φόβων ὑπόνοιαι, αἳ καὶ ψυχὴν καὶ σῶμα εἰς ἀπόγνωσιν ἀθλίως καταβαπτίζουσι.

Τί δὴ οἱ πλείους ὑμῶν, ὦ βαρεῖς ἐπιθέται; οὐκ ἐκ φαυλότητος τὴν πενίαν εἵλοντο, ἣν οὐδὲ ταῖς πρώταις τιμαῖς ἀντηλλάξαντο ἄν, εἴ τις αὐτοὺς ἀπαλλάξαι ταύτης ἠθέλησεν;

---

**TEST.**: 1 ἐκ πέτρας — πηγάσαι *cf.* Ex. 17:6. 2 κορέσαι *cf.* Mat. 14:16 *sqq.*; Mar. 6:37 *sqq.*; Luc. 9:13 *sqq.*; Joh. 6:5 *sqq.* 16 ἐντολή *cf.* Mat. 22:39; Mar. 12:31; Rom. 13:9.

**VAR. LECT.**: 1 πηγάσαι] σχόλιον · ἐκείνοις μόνοις λέλυται ἡ κατάρα κυρίως, τοῖς ἐργαζομένοις τὴν ἀρετήν · περὶ ὧν εἴρηται, οἱ δουλεύοντές μοι φάγονται (Is. 65:13). οὔτε γὰρ ἄνδρες ἐν ἱδρῶτι τοῦ προσώπου αὐτῶν τὸν ἄρτον ἐσθίουσιν, οὔτε γυναῖκες ἐν λύπαις τίκτουσιν ἐφ' αἷς οὐ προηγήσεται ἡδονή (*cf.* Gen. 3:16 – 19) in margine add. $S^2$ 2 ἡμῶν S 15 malim ἐπενόησαν ἄν

Digitized by Google

ΠΕΝΗΤΕΣ. Ἀλλ' οὐ χρὴ διὰ τοὺς τοιούτους καὶ τῶν ἄλλως δυστυχούντων καταφρονεῖν, ἀλλὰ μᾶλλον διὰ τούτων κἀκείνους εὐεργετεῖν καὶ τὴν χειροτονίαν ἐκφεύγειν τὸν ἀληθῶς ἐλεήμονα. μνήσθητε, ὦ τρισόλβιοι, τῶν πάλαι καθ' ὑμᾶς πλουσίων, πῶς οὐκ ἀνεκτὸν ἡγοῦντο ἐλεεινὸν θέαμα καθορᾶν, ἄνδρας ὑπὸ διαφόρων παθημάτων καὶ γήρως καὶ πενίας τετρυχωμένους μέσον τῆς πόλεως ἀθλίως περινοστεῖν· ἢ γὰρ fol. 91v ξενῶνες τοὺς τοιούτους εἶχον ἢ γηροκομεῖα ἢ || νοσοκομεῖα ἢ ὀρφανοτροφεῖα ἢ τοιαῦτά τινα. ἐφρόντιζον δὲ οὗτοι γνησίως καὶ τῶν πενεστάτων παρθένων καὶ τῆς τῶν ὀρφανῶν καὶ ἀπόρων παιδεύσεως καὶ περὶ κατασκευῆς νυμφώνων καὶ τῶν ἄλλων ἁπάντων, ὧν οἱ πένητες δέονται· καὶ οὐδενὸς τούτων ὁ ἀὴρ τηνικαῦτα στεναγμὸν ἐδέχετο.

ΠΛΟΥΣΙΟΙ. Ἀλλ' ἀγνοεῖτ', ὠγαθοί, τὴν τῶν πραγμάτων ἀφθονίαν, ὁπόση τις ἦν τὸ κατ' ἐκεῖνο καιροῦ, ἀκμαζούσης τῆς ἀρχῆς ἡμῶν καὶ τῆς πίστεως. τὰ πέρατα γὰρ κατείχομεν πάσης τῆς γῆς, νῦν δ' οὐδεμιᾶς ἡμῖν σατραπείας ἔδαφος ὑπολέλειπται· καὶ ὅτι πάνθ' ὅσα ἦσαν ἡμῖν ὑποχείρια ἔθνη τότε, εἰς πάντα νῦν ἡμεῖς ἐδουλώθημεν, οὕτω τῆς κοσμαγωγοῦ προνοίας ἄνω καὶ κάτω φερούσης τὰ πράγματα, καὶ κατὰ ἔθνη τὸ κράτος μεταθεμένης· καὶ ὅτι οὐδεὶς ἦν τότε πένης, οὐδὲ αἰχμάλωτος· νῦν δ' εἵλωτες σχεδὸν πάντες καὶ τρισαιχμάλωτοι. καὶ τί ἂν ἔχοιμεν δρᾶσαι, εὐαρίθμητοι ὄντες ἡμεῖς πρὸς πλῆθος ἄπειρον; καὶ γὰρ καὶ εὕρεσιν θησαυροῦ πολυταλάντου τότ' ὁ κρατῶν οὐ προσήκατο, ἀλλὰ κατα- fol. 92r χρῆσθαι τῷ εὑρηκότι προσέταξε· || νῦν δὲ καὶ τὰς τῶν τεθνεώτων οὐσίας ὑπ' ἐνδείας ἁρπάζουσιν, ἐπείπερ αἱ πρόσοδοι αὐτῶν ὀλιγώθησαν.

ΠΕΝΗΤΕΣ. Ἦσαν οὖν, ἦσαν καὶ τότε πένητες, εἰ καὶ μὴ τοσοῦτοι, καὶ πάντοτε ἔσονται, ὥς που Χριστός, ἡ αὐτοαλήθεια, ἀπεφήνατο, καὶ οὐδέποτ' ἐκλείψουσιν. οὓς εἰ μὴ αἰχμαλωσίαι, ἀλλ' ἁρπαγαὶ ποιοῦσι καὶ πλεονεξίαι καὶ ὀρφανίαι καὶ ναυάγια, καὶ τὰ λοιπὰ τοῦ βίου ἀλλεπάλληλα συμπτώματα. ἐπείπερ ἀναγκαία τῇ τοῦ κόσμου συστάσει ἡ ἔνδεια, ὡς τὰ πρῶτα καὶ ἀρχικὰ σώματα, ἥτις καὶ ὡς ταῦτα πλουσίως ἐπικρατεῖ, σπανίζει δ' ὁ πλοῦτος ὡς τῶν καλῶν φθαρτικός. εἰ δὲ πλείους νῦν οἱ πένητες διὰ τὰς τῶν παθῶν ἀμετρίας καὶ οἱ αἰχμάλωτοι γεγόνασι, γενέσθω καὶ ἡ γνώμη ὑμῶν πρὸς οἶκτον δαψιλεστέρα· τοῦτο γὰρ τὸ φάρμακον πρὸς σωτηρίαν ὁ νῦν ἀπαιτεῖ χρόνος, καὶ ἀρκεῖ ἀντὶ πάντων τῷ χορῷ τῶν μαρτύρων συντάξαι ὑμᾶς, καὶ μάλιστα τοὺς ἐκ τῶν ἀναγκαίων παρέχοντας. ἃ γὰρ μετ' ὀλίγον μέλλετε

TEST.: 25 ἀπεφήνατο *cf.* Mat. 26:11.

VAR. LECT.: 12 ὦ'γαθοί S 13 κατεκεῖνο S 15 σατραπίας S 17 post κατὰ rasuram 3 litterarum exhibet S 20 δράσαι S

Digitized by Google

ἐάσαντες ἀπελθεῖν, δανείσατε πρὸς ἡμᾶς, μᾶλλον δὲ τῷ κοινῷ δι' ἡμῶν fol. 92v δεσπότῃ, ἵν' ἀντὶ τούτων || λήψεσθε καὶ τὴν τῶν πλειόνων διοίκησιν.

Καὶ γὰρ ἴστε ὡς οὐ προῖκα τὰς ὑμῶν εὐεργεσίας λαμβάνομεν, ἀλλ' εὐθέως εὐχαριστίας ἀντιδιδόαμεν, εὐχάς, ἐπαίνους, προσκυνήσεις, ἐγκώμια, ὑποχωρήσεις, καὶ ὡς θεοὺς σχεδὸν ὑμᾶς λιτανεύομεν, καὶ ταῦτ' οὐκ αἰτοῦντες, ἀλλ' ἀπαιτοῦντες ὑμᾶς τὰ ἡμέτερα· ἐπείπερ ἡμῶν χάριν ὁ δεσπότης ταῦτα ὑμῖν ἐνεχείρισε. διὸ καὶ τὴν πρὸς αὐτὸν θυσίαν ἀπαναινόμενος, τὸν πρὸς ἡμᾶς ἀπαραιτήτως ἀπαιτεῖ ἔλεον καὶ μυρίους περὶ τούτου λόγους ποιεῖται καὶ πᾶσαν ἐπαγγέλλεται διὰ τούτου ἁμαρτίας κάθαρσιν καὶ τῆς αὐτοῦ βασιλείας τὴν μέθεξιν, καὶ ἐπὶ πολλῶν καθιστᾷ τὸν καλῶς τὰ πιστευθέντα οἰκονομήσαντα.

Δότε τοίνυν ἡμῖν τὰ ἡμέτερα, μᾶλλον δὲ τῷ κοινῷ πατρί· οὗτος γὰρ λαμβάνει, κἂν ἡμεῖς τὴν χεῖρα προτείνωμεν, καὶ οὐκ ἐπαισχύνεται τὰ οἰκεῖα ὡς ἀλλότρια δανειζόμενος καὶ μετὰ τόκων αὖθις ἀποδιδούς· εἰ δ' οὐκ εὐγνωμόνως ἴσως τῷ δεδωκότι δανείσητε, πρὸς ἑτέρους πάντως fol. 93r αὐτὰ || παραπέμψει φρονίμους καὶ πιστοὺς οἰκονόμους, οἳ οὐ τὰ ἑαυτῶν φροντίσουσι μόνον, ἀλλὰ καὶ τῶν δι' ὧν ταῦτ' ἔλαβον γνησίως προνοηθήσονται. καὶ γὰρ εἴωθεν ἀντεισφέρειν πενίαν τῷ μὴ οἰκονομικῷ, καὶ νόσον τῷ ἐπὶ κακῷ τὴν ὑγείαν χρωμένῳ, καὶ μάχην ἔσθ' ὅτε τῇ βλαβερᾷ φιλίᾳ, καὶ δουλείαν τῇ ψυχολέθρῳ ἐλευθερίᾳ, καὶ βελτίους ποιεῖται διὰ τῶν ἐναντίων σοφίας περιουσίᾳ τοὺς τῷ καλῷ μὴ καλῶς χρησαμένους, ὃ καὶ τῆς ὑμετέρας μοίρας πολλοὶ πεπόνθασιν, ἀποδοκιμασθέντες ὡς ἀδιάκριτοι.

ΠΛΟΥΣΙΟΙ. Οἴδαμεν οὖν, οἴδαμεν καὶ ἡμεῖς ταῦτα μᾶλλον ὑμῶν, ὦ γυμνοὶ σοφισταί· ἀλλ' εἰ μὴ ψόφον τοῦ χρυσοῦ οἱ κατὰ γένος προσήκοντες ἐν ἡμῖν αἴσθωνται, πρὸς ἡμετέραν ἐπίσκεψιν καὶ θεραπείαν οὐκ ἄν ποτε παραγένωνται, οὐ φίλος, οὐ γείτων, οὐκ ἀδελφός, οὐκ ἄλλος τῶν ἁπάντων οὐδείς, οὐδὲ τῆς προσηκούσης ὁσίας ἡμᾶς μετὰ θάνατον ἀξιώσουσιν, ἀλλ' οὐδ' ἐκκλησιῶν διαφόρων πόλεμος ἔσεται ὑπὲρ τῆς ἡμετέρας ταφῆς, οὐ τάφοι περιφανεῖς καὶ ὡραῖοι ἡμᾶς ὑποδέξονfol. 93v ται, οὐ ψαλμοὶ πρὸ || αὐτῶν καὶ τερετίσματα, οὐ ῥητόρων ἐγκώμια, οὐ φώτων πληθὺς καὶ ἀρχόντων σύλλογος ἐκδραμεῖται ἐπὶ τῇ ἡμῶν ἐκφορᾷ, οὐ κραυγαὶ προσηκόντων καὶ δάκρυα καὶ στερνοτυπίαι, οὐ τὰ

TEST.: 7 θυσίαν – 8 ἔλεον *cf.* Mat. 9:13; 12:7. 10 ἐπὶ πολλῶν *cf.* Mat. 25:21; 23.

VAR. LECT.: 1 ἐάσαντες] σχόλιον· πρόσωπον φέρει Χριστοῦ ὁ πένης, καὶ μάρτυρος ὁ τοῦτον ἀπὸ τοῦ ὑστερήματος θρέψας· καὶ ὥσπερ οὗτος τὸ οἰκεῖον δέδωκε αἷμα διὰ τὴν εἰς Χριστὸν ἀγάπην, οὕτω καὶ αὐτὸς παραπλησίως, ὅπερ ἔμελλε πηγάσαι αὐτῷ, ὁ δοθεὶς τῷ πένητι ἄρτος. ὥστ' οὐδὲν ἀποδέει καὶ τοῦτον μάρτυρα εἶναι ὁμοίως in margine add. S[2] 3 ἡμῶν S 6 τὰ ἡμέτερα S[2] in margine 16 παραπέμψῃ S 22 ἡμετέρας S

Digitized by Google

τοιαῦτα προκαλούμεναι γυναῖκες καὶ τῶν θρήνων ἐξάρχουσαι, οὐδὲ ἡ διὰ πάντων τούτων τιμή, ἀλλ' ὥσπερ τι ἄγος ἐπὶ πολὺ κεισόμεθα ἄαπτοι, καὶ τοὺς ὀφθαλμοὺς πάντες ἀφ' ἡμῶν ἀποστρέψουσι, καὶ μόλις ὀψέ ποτε τὸν χοῦν ἡμῶν οἱ τῆς οἰκίας δεόμενοι ἢ τῆς δυσωδίας μὴ ἀνεχόμενοι τῷ χοΐ ἀτίμως συγκαταμίξουσιν.

'Αλλ' ἵνα μὴ τούτων πάντων ἐκπέσωμεν καὶ τοιαύτης ζωῆς καὶ ἡμεῖς τύχοιμεν καὶ ταφῆς, ἣν καὶ ὑμῖν ἡ πεῖρα ἐδίδαξεν, ὁ χρυσός ἐστιν εἰκότως ἡμῖν ἐπέραστος καὶ ψυχῶν αὐτῶν προτιμότερος καὶ ἡ τούτου κτῆσις καὶ φυλακὴ πανταχοῦ περισπούδαστος, καὶ πάντα παθεῖν ὑπὲρ αὐτοῦ ἀνεχόμεθα.

ΠΕΝΗΤΕΣ. Καὶ τίς ἡ τιμή, βέλτιστοι, τῶν κροκοδείλου δακρύων, ἢ τῶν τάφων καὶ τῶν γαιῶν, τῶν διαδεξομένων ὑμῶν τὰ ὀνόματα, ἀντὶ || σκηνῶν αἰωνίων, ὅταν τὰς ψυχὰς ὑμῶν θλῖψις αἰώνιος καὶ κόλασις διαδέξηται, ἐξ ὧν ἐξωθεῖσθε πολλάκις καὶ παρ' ἐχθρῶν, καὶ λείψανα ἀχρείων καὶ ἀσεβῶν οἱ τῶν ἡρώων τάφοι κατακαλύπτουσιν; ἢ τίς ἡ δόξα ἡ τὴν χρείαν καὶ τοὺς κλήρους ὑπόθεσιν ἔχουσα; ἢ τίς ἡ ζημία τῆς τούτων στερήσεως τῷ ψυχὴν ἐλεήμονα κεκτημένῳ καὶ τὸν πλοῦτον καὶ τὴν κλῆσιν θεμένῳ ἐν οὐρανῷ, καὶ μὴ ἄξια δακρύων πράξαντι;

fol. 94r

'Ημῖν οἱ τοῦ πνεύματος ἄνδρες διδάσκουσι μηδεμίαν εἶναι ἄλλην τιμὴν ὑψηλοτέραν ὀνόματος δεξιοῦ τοῖς ἐντεῦθεν ἀπαίρουσι, κἂν οἱῳδήποτε τρόπῳ τὸ ζῆν ἐκμετρήσωσι, κἂν ὁποῖον μέρος τῆς κτίσεως αὐτοὺς ὑποδέξηται. οὐ μὴν ἀλλὰ καὶ τὴν ἄδοξον οὗτοι ταφὴν αἰτίαν ἀποφαίνονται τῆς κρείττονος ἀναστάσεως· ἧς καὶ ὑμεῖς ἀξιωθείητε, οἱ τοῦ ἐλεήμονος Χριστοῦ μιμηταί, χάριτι καὶ φιλανθρωπίᾳ αὐτοῦ, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας, ἀμήν.

---

VAR. LECT.: 7 πεῖρα S 12 ὀνόματα] an σώματα legendum?

Digitized by Google